
29 Δεκεμβρίου

† Μνήμη τῶν Ἁγίων Νηπίων, τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων, ὧν ὁ ἀριθμὸς χιλιάδες ιδ΄ καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκέλλου, Ἡγουμένου τῆς Μονῆς τῶν Ἀκοιμήτων.


ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ἦχος δ΄ Πα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)


Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.



Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Ἀπολυτίκιον τῶν Ἁγίων

Ἦχος α' πα




Δόξα.

Ἀπολυτίκιον τοῦ Ὁσίου

Ἦχος πλ. δ'


Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ καὶ πράττων ἐδίδασκες· ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου. Διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Μάρκελλε τὸ πνεῦμά σου.

Ἀπολυτίκιον τοῦ Ἁγίου.



Καὶ νῦν... *Ἀπολυτίκιον τῆς ἑορτῆς.*

Ἦχος δ΄ Δι



Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς
Ἦχος πλ. δ΄ . Τὸ προσταχθὲν μυστικῶς

Ἀγαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω, ὅτι ἐτέχθη ἐπὶ γῆς, ὁ Ἀμνὸς τοῦ Θεοῦ, παρέχων τῷ κόσμῳ τὴν ἀπολύτρωσιν. Ὁ Λόγος, ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς, ὃν οἱ Μάγοι ἐξίσταντο, ὁρῶντες ἐν Βηθλεέμ, τικτόμενον ὡς νήπιον, ὃν δοξάζει τὰ σύμπαντα.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα
Ἦχος πλ. δ΄
Τὴν Σοφίαν καὶ Λόγον

Οὐρανὸς μοι ἐφάνης σήμερον γῆ· ἐπὶ σοὶ γὰρ γεννᾶται ὁ Ποιητής, καὶ φάτνη ἀνακλίνεται, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· σὺν Ἀγγέλοις ὑμνοῦσι, καὶ Ποιμένες ἀπαύστως· Ἐν ὑψίστοις δόξα, εἰρήνη τῷ Κόσμῳ τε· εἶδον γὰρ ἀστέρα, ὁδοιποροῦντα οἱ Μάγοι, ὀξέως τε προέτρεχον, τοῦ προσάξαι τὰ δῶρα αὐτῶν, χρυσὸν σμύρναν καὶ λίβανον, ὡς πάντων ὑπάρχοντι Θεῷ, καὶ Βασιλεῖ αἰωνίῳ, καὶ Κτίστῃ τοῦ παντός, ἐν σπηλαίῳ δι΄ οἴκτον, ἐπιφανέντι βροτοῖς.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Εἶτα ἀναγινώσκεται ὁ Ν' ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.


Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα οἱ Κανόνες

Ὁ α΄ κανὼν τῶν Χριστουγέννων


Ὠδὴ α΄. Ὁ Εἱρμὸς


Ἦχος δ΄ Πα



Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.


Ῥεύσαντα ἐκ παραβάσεως, Θεοῦ τὸν κατ᾽ εἰκόνα γενόμενον, ὅλον τῆς φθορᾶς ὑπάρξαντα, κρείττονος ἐπταικότα θείας ζωῆς, αὖθις ἀναπλάττει, ὁ σοφὸς Δημιουργός, ὅτι δεδόξασται.






Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον, τὸν ἄνθρωπον χερσίν, ὃν ἐποίησε, κλίνας οὐρανοὺς κατέρχεται, τοῦτον δὲ ἐκ Παρθένου θείας Ἁγνῆς, ὅλον οὐσιοῦται, ἀληθείᾳ σαρκωθείς, ὅτι δεδόξασται.



Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σοφία λόγος καὶ δύναμις, Υἱὸς ὢν τοῦ Πατρός, καὶ ἀπαύγασμα, Χριστὸς ὁ Θεός, δυνάμεις λαθών, ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ, καὶ ἐνανθρωπήσας, ἀνεκτήσατο ἡμᾶς, ὅτι δεδόξασται.



Εἶτα οἱ Κανόνες τῶν Νηπίων.

Κανὼν πρῶτος τῶν Νηπίων.

Ὠδὴ α΄.

Ἦχος πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νεοποιεῖται ἡ κτίσις καὶ ἡ βροτῶν, φύσις ἀναπλάττεται, ἐν σαρκὶ τοῦ Ποιητοῦ, πάντων ὑπὲρ ἔννοιαν Χριστοῦ, τικτομένου ἐξ ἀγνῆς, καὶ παναχράντου Μητρός.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἐκ στελεχῶν νεοφύτων ἡ τοῦ Χριστοῦ, Ἐκκλησία σήμερον, ὥσπερ ἄνθη εὐθαλῆ, δρεψαμένη αἵματα τερπνῶς, ἐφηδύνεται αὐτοῖς καὶ ὡραΐζεται.

Δόξα...

Οἱ ποταμοὶ τῶν αἱμάτων τῶν εὐσεβῶν, Παίδων τὴν ἀπόνοιαν, καὶ μανίαν νοητῶς, τοῦ Ἡρῴδου ἔκλυσαν· διό, ὑποβρύχιον αὐτοῦ ὤφθη τὸ θέσπισμα.


Καὶ νῦν... Θεοτοκίον.

Γῆ τῆς προτέρας κατάρας τῆς ἐν Ἐδέμ, λύτρωσιν ἐδέξατο, ἐν αὐτῇ τοῦ Λυτρωτοῦ, γεννηθέντος Ἄχραντε ἐκ σοῦ, καὶ καινίσαντος αὐτήν, καὶ ἁγιάσαντος.

Ὁ α΄ κανὼν τῶν Χριστουγέννων

Ὠδὴ γ΄

Ἦχος α΄. Ὁ Εἱρμὸς





Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.


Ὁ τῆς ἐπιπνοίας, μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκός, καὶ πρὸς φθορὰν κατολισθήσας, γυναικείᾳ ἀπάτῃ, Χριστὸν γυναικὸς βοᾷ ἐξορῶν, ὁ δι΄ ἐμὲ κατ᾽ ἐμὲ γεγονώς, ἅγιος εἶ Κύριε.




μει νω Α δα αμ χο ι κος και προς φθο ραν


κα το λι σθη σας γυ ναι κει α α πα τη


Χρι στο ον γυ ναι κος βο α ε ξο ρων ο δι


ε με κατ ε με γε γο νως α γι ος ει Κυ


υ ρι ι ε

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σύμμορφος πηλίνης, εὐτελοῦς διαρτίας Χριστὲ γεγονώς, καὶ μετοχῇ σαρκὸς τῆς χείρω, μεταδοὺς θείας φύτλης, βροτὸς πεφυκώς, καὶ μείνας Θεός, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.


Συμμορ φος πη λι νης ευ τε λους δι αρ


τι ας Χρι στε ε γε γο νως και με το χη


σαρ κος της χει ρω με τα δους θει ας φυτ λης









Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βηθλεὲμ εὐφραίνου, Ἡγεμόνων Ἰούδα βασίλεια· τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων, Χερουβὶμ ὁ ἐπ᾽ ὤμων, ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, πάντων ἐβασίλευσεν.











σεν

πq

Εἶτα οἱ Κανόνες τῶν Νηπίων.

Κανὼν πρῶτος τῶν Νηπίων.

Ὠδὴ α΄. Ἦχος πλ. β΄.

Οὐκ ἐστὶν ἅγιος.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νεφέλαι στάξατε ἐν γῇ, γλυκασμὸν εὐφροσύνης· ἐκ νεφέλης φωτὸς γάρ, ἀνέτειλεν ὁ Χριστός, ἐν Σπηλαίῳ σαρκικῶς, ὑπὲρ πᾶσαν, ἔννοιαν τικτόμενος.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀπημφιάσατο τὴν πρίν, τῶν ἀνθρώπων ἡ φύσις, ἀκοσμίαν καὶ κόσμον, περιέθετο τερπνόν, τοῦ κοσμήτορος αὐτῆς, ἐκ Παρθένου, σαρκὶ ἀνατείλαντος.

Δόξα...


Χορὸς θεόλεκτος βρεφῶν, ἐν σαρκὶ γεννηθέντι, προσηνέχθη τῷ Κτίστῃ, ὡς θυσία μυστική, τυθεῖσα διὰ σφαγῆς, μαρτυρίου, καὶ θείας ἀθλήσεως.

Καὶ νῦν... *Θεοτοκίον.*

Ἐκ τῶν ἀχράντων σου Ἁγνή, καὶ τιμίων αἱμάτων, σαρκωθεὶς ἀπορρήτως, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἀνέδειξεν ὡς Θεός, τῶν κτισμάτων, σὲ ἁπάντων Δέσποιναν.

Ὠδὴ γ΄,
τοῦ Μηναίου
Ὁ Εἱρμός.
Πλ. β΄

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου Ἀγαθέ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας σου».



Κάθισμα.

Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Τῷ τεχθέντι σήμερον, ἐκ τῆς Παρθένου, τῶν Νηπίων στράτευμα, ὡς Ποιητῇ καὶ Βασιλεῖ, δεκτὰ προσάγονται σφάγια, προτεθυμένα, Χριστῷ διὰ πίστεως.

Δόξα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστῷ νηπιάσαντι, ἐκ τῆς Παρθένου φρικτῶς, ὡς δῶρον προσήνεγκται, ὁ τῶν Νηπίων χορός, Ἡρώδου ὠμότητι. Δεῦτε οὖν εὐφρανθῶμεν, τῇ αὐτῶν ἀναιρέσει, ὅτι Ἀβραμιαίοις, κατοικίσαντες κόλποις, πρεσβεύουσιν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν.

Τῆς Ἑορτῆς. Ὅμοιον.


Ἐνθέως εὐφραίνεται ἡ κτίσις σήμερον· Χριστὸς γὰρ ὁ Κύριος, Πατρὸς ἀνάρχου Υἱός, ἐκ Κόρης γεννᾶται ἁγνῆς· ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀθανατίζων, λύων τε τὴν κατάραν, τῆς προμήτορος Εὔας. Διὸ εὐχαριστοῦντες αὐτῷ, ἐν ὕμνοις δοξάσωμεν.

Ὠδὴ στ΄, τοῦ Μηναίου

Πλ. β΄ .

Ὁ Εἱρμὸς

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.



Κοντάκιον Ἦχος δ΄

Ἐπεφάνης σήμερον

Ἀστὴρ Μάγους ἔπεμψε, πρὸς τὸν τεχθέντα, καὶ Ἡρῴδης ἄδικον, στρατὸν ἀπέστειλε κενῶς, φονοκτονῆσαι οἰόμενος, τὸν ἐν τῇ φάτνῃ ὡς Νήπιον κείμενον.

Ὁ Οἶκος

Τῶν ἄνω καὶ τῶν κάτω νῦν ὁμοῦ εὐφραινομένων, ἐν τῇ ἐπιφανείᾳ τοῦ πάντων Βασιλέως, Ἡρῴδης μόνος συναλγεῖ, σὺν τοῖς προφητοκτόνοις Ἰουδαίοις· εἰκὸς γὰρ μόνους αὐτοὺς ὀδύρεσθαι· οὐ γὰρ ἀπὸ τοῦ νῦν βασιλεύσουσιν, ἀλλ΄ ἡ βασιλεία τοῦ Κυρίου, καὶ ἔτι κρατήσει, τὰ θράση τῶν ἐχθρῶν ἀποκρουομένη, καὶ τὰ πλήθη τῶν πιστῶν συγκαλουμένη, μετὰ τῶν σεπτῶν Νηπίων τοῦ κατοπτεύειν, τὸν ἐν τῇ φάτνῃ ὡς Νήπιον κείμενον.

Συναξάριον

Τῇ Κθ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν ἁγίων Νηπίων, τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων, χιλιάδων δεκατεσσάρων.

Στίχοι

Διὰ ξίφους ἄωρα μητέρων Βρέφη,

Ἀνεῖλεν ἐχθρὸς τοῦ βρεφοπλάστου Βρέφους.

Νήπια ἀμφ΄ ἐνάτην τάμον εἰκάδι παππάζοντα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη πάντων τῶν Χριστιανῶν καὶ ἀδελφῶν ἡμῶν τῶν ἐν λιμῷ καὶ δίψει καὶ μαχαίρᾳ καὶ κρύει τελειωθέντων.

Τελεῖται δὲ ἡ αὐτῶν Σύναξις ἐν τοῖς Χαλκοπρατείοις εἰς τὸν ναὸν τῆς Ὑπεραγίας Θεοτόκου, ἔνθα ἡ ἁγία σορός.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκέλλου, Ἡγουμένου τῆς Μονῆς τῶν Ἀκοιμήτων.

Στίχοι

Ἀϋπνίᾳ δοὺς πάντα τὸν ζωῆς χρόνον
Μάρκελλε, κοιμήθητι μικρὸν ἐν τάφῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Θαδδαίου τοῦ Ὁμολογητοῦ.

Στίχοι

Καὶ Θαδδαῖος ἴσχυσε κατὰ τῆς πλάνης,
Ὁμολογητὴς ἀναφανεὶς ὡς μέγας.

Τῇ αὐτῇ ἡμέρᾳ, τὰ ἐγκαίνια τοῦ ναοῦ τῶν ἁγίων 40 Μαρτύρων πλησίον τοῦ Χαλκοῦ τετραπύλου.

Ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Γεώργιος ὁ ἐπίσκοπος Νικομηδείας, ὁ ποιητὴς ᾀσματικῶν τινων κανόνων καὶ ἑτέρων γλαφυρῶν ὕμνων, ἐν εἰρήνῃ τελειοῦται.

Οἱ Ὅσιοι πατέρες Βενιαμὶν καὶ Ἀθηνόδωρος ἐν εἰρήνῃ τελειοῦνται.


Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.


Ὠδὴ η΄, τοῦ μηναίου

Ἦχος πλ. β΄. Ὁ Εἱρμὸς

Στίχ. **Α**ἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ Δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρὰς Χριστέ,, μόνω τῷ βούλεσθαι· Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.





Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

Ἦχος λ Δι

Σπ/χος α′


Με γα λυ νει η ψυ χη μου
τον Κυ ρι ον και η γαλ λι α σε το πνεύ
μα μου ε πι τω Θε ω τω σω τη ρι μου
Την Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ο ον τως Θε ο το κον Σε με γα
λυ νο με εν


Σπ/χος β′


Ο τι ε πε βλε ψεν ε πι
την τα πει νω σιν της δου λης αυ του ι δου



γαρ α πο του νυν μα κα ρι ου σι με πα


σαι αι γε νε αι


Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ



και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα


λυ νο με εν


Σπίχος γ'



Ο τι ε ποι η σε μοι με


γα λει α ο Δυ να τος και α γι ον


το ο νο μα αυ του και το ε λε ος


αυ του εις γε νε αν και γε νε αν τοις φο βου


με νοις αυ τον
Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ο ον τως Θε ο το κον Σε με γα
λυ νο με εν
Σπίχος δ'
Θ ποι η σε κρα τος εν βρα
χι ο νι αυ του δι ε σκορ πι σεν υ
πε ρη φα νους δι α νοι α καρ δι ας αυ
των
Β
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα


λυ νο με εν


Σπίχος ε΄



Κα θει λε δυ να στας α πο


θρο νων και υ ψω σε τα πει νους πει νων τας



ε νε πλη σεν α γα θων και πλου τουν


τας ε ξα πε στει λε κε νους


Τη ν Τι μι ω τε ραν των Χε ρου βιμ



και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα



λυ νο με εν

Σπίχος στ'



Ἄν τε λα βε το Ισ ρα ηλ



παι δος αυ του μνη σθη ναι ε λε ους κα


θως ε λα λη σε προς τους πα τε ρας η



μων τω Α βρα αμ και τω σπερ μα τι αυ


του ε ως αι ω ω νος


Τ̀ην Τι μι ω τε ραν των Χε ρου βιμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα



φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ο ον τως Θε ο το κον Σε με γα



Εἶτα ψάλλεται
ἡ Θ' ᾠδὴ τοῦ κανόνος τοῦ Μηναίου
Ἦχος πλ. β' . Ὁ Εἱρμὸς

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δὲ Πάναγνε, ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.



Ἦχος λ Βου


Ἄ ξι ον ε στιν ως α λη θως μα κα ρι
ζειν σε την Θε ε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη τε
ρα του Θε ου η μων την τι μι ω τε ε
ραν τω Χε ρου βιμ και εν δο ξο τε ραν α
συγ κρι τως των Σε ρα φιμ την α δι α φθο
ο ρως Θε ον Λο γο ον τε κου σαν την ο ον
τως Θε ο το ο ο κον σε με γα λυ υ νο
με ε εν

Ἐξαποστειλάριον. Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Κλαυθμὸς πολὺς ἐγένετο, ὀδυρμός τε καὶ θρῆνος, ἐν τῇ Ῥαμᾷ ὡς ἔφησεν, ὁ θεόπνους Προφήτης ἐξ ἀγκαλῶν γὰρ μητρῴων, ἀποσπάσας Ἡρῴδης, τὰ Νήπια ἀνείλετο, ἐκζητὼν ἀποκρύψαι, τὸν ἐξ Ἁγνῆς, Ἥλιον τεχθέντα ἐν γῇ Ἰούδα, ὃν πάντες προσκυνήσωμεν, ὡς Σωτῆρα τοῦ κόσμου.

Ἕτερον. Ἦχος β΄

Τῶν Μαθητῶν ὁρώντων σε.

Ἡ Βηθλεὲμ μὴ στύγναζε, ἀλλ᾽ εὐθύμει, τῶν ἱερῶν Νηπίων τῇ ἀναιρέσει· θύματα γὰρ τέλεια τῷ Δεσπότῃ, Χριστῷ προσανηνέχθησαν· ὑπὲρ αὐτοῦ γὰρ σφαγέντα, συμβασιλεύουσι τούτῳ.


Θεοτοκίον. Ἦχος β΄

Τῶν Μαθητῶν ὁρώντων σε.

Ἐπὶ τῆς γῆς εἰρήνη καὶ ἐν ἀνθρώποις, Θεοκυῆτορ γέγονεν εὐδοκία. Ἄγγελοι χορεύοντες ἐκραύγαζον· Ἐν τοῖς ὑψίστοις δόξα σοι, τῷ γεννηθέντι ἀφράστως, ἐν Βηθλεέμ ἐκ Παρθένου.

Εἰς τοὺς Αἴνους,
Στιχηρὰ Προσόμοια τῶν Νηπίων
Ὦ τοῦ παραδόξου θαύματος

Ἦχος πλ. δ΄ Νη



κα τα το πλη θος της με γα λω συ νης αυ

του ”Ω τῆς Ἡρῴδου πορώσεως! κατὰ Θεοῦ ἐμμανείς, τοῦ σαρκὶ νηπιάσαντος, Βηθλεὲμ τοῖς βρέφεσι, τὸν θυμὸν ἐπαφίησι, καὶ ξίφει πάντα, δημίων δίδωσι, ζωῆς στερῆσαι, τὸν ζωῆς αἴτιον, τούτων οἰόμενος, τῆς σφαγῆς τῷ αἵματι, ὁ λυμεών, τοῦ καρποῦ τῆς φύσεως, ὁ ἀπηνέστατος.

Σπ/χ. δ/. Ἀι νει τε αυ τον εν η χω

σαλ πιγ γος αι νει τε αυ τον εν ψαλ

τη ρι ω και κι θα ρα


”Ω τῆς Ἡρῴδου πορώσεως! κατὰ Θεοῦ ἐμμανείς, τοῦ σαρκὶ νηπιάσαντος, Βηθλεὲμ τοῖς βρέφεσι, τὸν θυμὸν ἐπαφίησι, καὶ ξίφει πάντα, δημίων δίδωσι, ζωῆς στερῆσαι, τὸν ζωῆς αἴτιον, τούτων οἰόμενος, τῆς σφαγῆς τῷ αἵματι, ὁ λυμεών, τοῦ καρποῦ τῆς φύσεως, ὁ ἀπηνέστατος.

Σπ/χ. ε΄.



Μάγοι ἐκ Περσίδος φθάσαντες, εἰς τὴν Ἱερουσαλήμ, τὸν Ἡρῴδην ἐτάραξαν, καὶ μανεὶς ὁ δείλαιος, τὰ Νήπια κατέσφαττεν· ὡς βότρυες δέ, Χριστῷ προσήχθησαν, εἰ καὶ μητρῴων μαζῶν ἐσπάσθησαν, οἱ Νεομάρτυρες, τὸν Ἡρῴδην πλήξαντες· διὸ Χριστόν, πίστει ἱκετεύουσιν, εἰς τὸ σωθῆναι ἡμᾶς.


Σπ/χ. Ϛ΄.





Κλαίει ἡ Ῥαχὴλ τὰ Νήπια, ἐν τῇ Ῥαμᾷ δὲ φωνή, νῦν μεγάλη ἀκούεται, ὁ Ἡρῴδης μαίνεται, καὶ ἀθέως φρυάττεται, ὁ Ἰωάννης φεύγει ἐν ὄρεσι, λίθος Μητέρα σὺν τέκνῳ δέχεται, ὁ Ζαχαρίας δέ, ἐν Ναῷ φονεύεται, ὁ δὲ Χριστός, φεύγει ἀφεὶς ἔρημον, Ἑβραίων οἴκημα.


Δόξα...


Ἦχος λ̈ πλ̈ Ν̣η






α α αν νην πε τραν πα ρε ε ε κα α α λει
δε ξαι Μη τε ρα α με τα α τε ε ε ε κνου
ο ρο ος ε ε δε ξα α το τον Προ ο ο
ο ο δρο ο ο ο μον φατ νη ε φυ λα ατ τε
τον θη σα αυ ρον ον α στη ηρ ε ε μη η
η νυ υ υ υ σε Μα γοι προ σε κυ υ υ
νουν Κυ υ υ ρι ε δο ο ο ο ξα α α α σοι


Και νυ υν και α ει και εις του ους
αι αι ω ω ω νας των αι αι ω ω ω νων
α α α μην


Θν Βη θλε εμ συ νε δρα μον ποι οι
με ε ε νε ες τον α λη θη μη η νυ υ ον
τες ποι οι οι με ε ε ε να τον κα α
θη με ε νον ε πι ι των Χε ρου ου βιμ και
α να κει ει με νο ο ο ον εν φα α ατ νη
η νη πι ι ι ου μο ορ φην δι η μα
ας α α νει ει λη η φο ο ο τα Κυ υ υ ρι ε
δο ο ο ο ξα α α α σοι οι οι οι

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ

αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ

Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....


Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ
Ἀπόστιχα Στιχηρὰ Ἰδιόμελα τῶν Νηπίων.
Ἦχος α΄ Κυπριανοῦ

Τῷ ἀχράντῳ σου τόκῳ, Χριστὲ ὁ Θεός, πρώτη θυσία γέγονε τὰ Νήπια· Ἡρῴδης, γὰρ χειρώσασθαι, σὲ τὸν ἀχείρωτον βουληθείς, ἠγνόησε μαρτύρων προσάγων σοι χορόν. Διὸ σε ἱκετεύομεν τὸν ἐνανθρωπήσαντα, σῶσαι τὰς ψυχὰς ἡμῶν.


Ἦχος πλ. δ΄ Πα




Ἦχος πλ. Πα

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ εὐλογητὸς ὁ Θεός.

Θὶς τὰ ὦτα τοῦ Κυρίου Σαβαώθ, εἰσεληλύθει ἡ σφαγὴ ὑμῶν, Βρέφη τίμια· δι᾽ αὐτὸν γὰρ τὸ αἷμα ἐξεχέατε, καὶ ἐν κόλποις Ἀβραὰμ ἐπαναπαύεσθε, καὶ τὴν Ἡρῴδου εἰς αἰῶνας, μισητὴν κακίαν καταγγέλλετε, δυνάμει τοῦ τεχθέντος Χριστοῦ.







Ἦχος Γα

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.


Μισητὴ τοῦ Ἡρῴδου ἡ παιδοκτονία, διὰ τὴν αὐτοῦ μιαιφονίαν· καὶ σεπτὴ ἡ τῶν Παίδων θυσία, ὡς ἡλικιῶτις Χριστοῦ, τῆς ἡμῶν σωτηρίας, τοῦ καινοῦ σφαγίου προθυομένη καὶ προπεπονθυῖα. Μὴ κλαῖε Ῥαχιὴλ τὰ τέκνα, μιμνῃσκομένη τῶν κόλπων Ἀβραάμ, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.





σε πτη η των Παι αι δων θυ σι α ως η
λι κι ω τις Χριστου της η μων σω τη ρι
ας του και νου σφα γι ου προ θυ ο με νη και
προ πε πον θυ ι α Μη κλαι ε Ρα χι ηλ τα
τε ε ε κνα μι μνη σκο με νη των κολ πων Α
βρα αμ εν θα παν των ε στιν ευ φραι νο
με ε ε νων η κα τοι κι α


Δοξαστικὸν, Τοῦ Ὁσίου


Ἦχος πλ. β΄




ε φθα α α σας τα α τα αγ μα α α α τα
ων το ον βι ι ον α με εμ πτω ω ως ε ζη
η λω ω ω ω σας παρ ρη σι α αν ε χων
προς Χρι στο ο ον τον Θε ο ο ο ο ο
ο ο ο ο ο ον ει ρη η νην αι αι
αι αι τη η η η σαι ται αις ψυ χαι αι αις
η η η η μω ω ω ων

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.
Ἦχος ὁ αὐτός.




α α αυ ταιΔ και βα σι λε ε ευ ει Χρι ι στο ος
εις του ους αι ω ω ω ω να α α ας

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.


Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀπολυτίκιον.


Ἦχος δ΄ Δι




Εἰς τὴν Θείαν Λειτουργίαν.


ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος λ πλ. Νη




ΕΤΕΡΑ




4. 
Κυ ρι ε ε ε λε η σο ο ον


5. 
Κυ ρι ε ε λε ε η σον

6. 
Κυ ρι ε ε λε ε ε η σον

7. 
Κυ ρι ε ε λε η σον

8. 
Κυ ρι ε ε λε η σον

9. 
Κυ ρι ε ε λε η σον


10. 
Κυ ρι ε ε λε ε η σον

11. 
Κυ ρι ε ε λε ε ε η σον


12. 
Ϲοι Κυ ρι ε

Ἀντίφωνον Α΄.

Ἦχος Δι










Σπ/χ. δ′.














Δόξα... Καὶ νῦν...







Ἀντίφωνον Β΄. Ἦχος β΄.


Σπ/χ. α΄.














Σπ/χ. β΄.










Παρ θε ε ε ε νου τε χθεις ψαλ λον τας σοι


αλ λη λου ου ι α

Σπ/χ. γ′



Δο ξα και πλου τος εν τω οι



κω αυ του και η δι και ο συ νη αυ


του με νει εις τον αι ω να του αι ω


νος



Σω σον η μα ας Υι ε Θε ου ο εκ



Παρ θε ε ε ε νου τε χθεις ψαλ λον τας σοι



αλ λη λου ου ι α

Σπ/χ. δ′.


Θ ξα νε τει λεν εν σκο τει φως


τοις ευ θε σιν


Σω σον η μα ας Υι ε Θε ου ο εκ
Παρ θε ε ε ε νου τε χθεις ψαλ λον τας σοι
αλ λη λου ου ι α
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι αι
ω νας των αι αι ω νων α μην
Ο Μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η με
τε ραν σω τη ρι ι αν σαρ κω θη η ναι



εκ της Α γι ας Θε ο το κου και α ει
παρ θε νου Μα ρι ας α τρε ε πτως ε εν
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω
Πνευ μα τι σω σον η μα α ας

Ἀντίφωνον γ'.



Ἀπολυτίκιον.

Ἦχος δ΄. Δι΄






Στίχ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.(Τὸ ὡς ἄνω)


Στίχ. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου.

Ἦχος δ΄ Δι




Εἰσοδικόν.

Ἦχος δ΄




Εἶτα ψάλλομεν τό Ἀπολυτίκιον.

Ἦχος δ΄ Δι


Η Γεν νη σις Σου Χρι στε ο Θε ος η μων
α νε τει λε τω κο σμω το φως το της γνω
σε ως εν αυ τη γαρ οι τοις α στροις λα
τρευ ον τες υ πο α στε ρος ε δι δα σκον
το σε προ σκυ νειν τον Η λι ον της δι και ο
συ υ νης και Σε γι νω σκειν εξ υ ψους
α να το λην Κυ ρι ε δο ο ξα σοι

Ἦχος α΄ πα




Ἀπολυτίκιον τοῦ Ὁσίου

Ἦχος πλ. δ΄

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ΄ εἰκόνα· λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ καὶ πράττων ἐδίδασκες· ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς πράγματος ἀθανάτου. Διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Μάρκελλε τὸ πνεῦμά σου.


Ἀπολυτίκιον τοῦ Ἁγίου.



Ἀπολυτίκιον τοῦ Ναοῦ.

Εἶτα τὸ Κοντάκιον.

Ἦχος Γα



ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
ΤΡΙΤΗΣ ΛΑ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρὺς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 9:8-23

Ἀδελφοί, τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν Ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν· ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ΄ ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώμασιν καὶ πόμασιν καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώματα σαρκὸς μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν γενομένων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τοῦτ΄ ἔστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι΄ αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Εἰ γὰρ τὸ αἷμα τράγων καὶ ταύρων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς

καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. Ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται· λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ τὸν νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐράντισε, λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός· καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐράντισε. Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ

τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας.

Ἀλληλούϊα. (γ΄) Ἦχος β΄


Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.


Ἦχος λ̇ π̇ ϙ Πα Ἐναρμόνιος τρίφωνος


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


ΘΙΣ ΑΓΙΟΣ

Ἦχος λ̈ ῾Εναρμόνιος τρίφωνος




Τῇ Τρίτῃ (τοῦ Προδρόμου)

Ἦχος λ πλ. Νη



Ἦχος δ βαρ. Πα




Τῇ Τρίτῃ (τοῦ Προδρόμου)


Εἰς Μνημόσυνον...

Κωνσταντίνου Πρίγγου

Ἄρχοντος Πρωτοψάλτου τ.Μ.τ.Χ.Ε.


Ἦχος Πα ’’Εκτασις.




ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω αι ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω
ω νι ι ι ι ι ι αι ω ω ω ω ω ω
ω νι ι ι ο ον ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε σται δι ι ι ι και
αι αι ο ο ο ο ο ος Αλ λη λου ου ου
ου ι ι ι α α α α α α α α
α

Εἴδομεν τὸ φῶς τό ἀληθινόν


Ἦχος Δι



Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί...


Ἦχος Δι





αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...

Ἦχος Δι




Τόν Εὐλογούντα...



Ἦχος Βαρύς Ζω






Θεοτοκία εἰς ἦχον Βαρύν

Μή καταπιστεύσεις με


Ἦχος Βαρύς Ζω




που ου προ σφυ υ υ γω ο α α ϑλι ος
παν το ϑεν πο λε μου ου με νος και πα ρα
μυ ϑι ι ι αν ουκ ε χω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα σι
ι α των πι στων μη μου πα ρι ι δης την
δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

Μεταβολή τῶν θλιβομένων

Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.